A

## ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΣΦΗΚΩΝ. ΠΑΙΔΕΣ.

## CHORVS SENVM CRABRONVM. PVERI.

BISETVS. Οἱ τοῦ χοροῦ σφηκῶν ἔχοντες σχῆμα τὴν πάροδον ποιοῦνται, καὶ ἀλλήλοις ἐγκελεύονται πρὸς τὸ σπεύδειν εἰς τὸ δικαστήριον.

B

Στροφὴ στίχων ιή.

Χο. Χώρει. πρόβαιν' ἐρρωμένως. ὦ Κωμία, βραδύνεις;
Μὰ τὸν Δί' οὐ μέντοι πρὸ τοῦ γ'. ἀλλ' ἦσθ' ἱμὰς κύνειος.
Νυνὶ δὲ κρείττων ἐστί σου Χαρινάδης βαδίζειν.
Ὦ Στρυμόδωρε Κονθυλεῦ. βέλτιστε συνδικαστῶν.
Εὐεργίδης ἆρ' ἐστί που 'νταῦθ' ἢ Χάβης ὁ Φλυεύς; C
Πάρεσθ' ὃ λοιπόν ἐστ' ἔτι, ἀπαπαπαῖ. παπαῖ. παππαιάξ
Ἥβης ἐκείνης ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν,
Φρουροῦντ' ἐγώ τε καὶ σύ. κᾆτα περιπατοῦντε νύκτωρ
Τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον.
Κᾆθ' ἥψομεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.
Ἀλλ' ἐγκονῶμεν ἄνδρες. ὡς ἔσται Λάχητι νυνί.
Σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν D
Χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
Ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηράν.
Ἐπ' αὐτὸν ὡς κολουμένους ὧν ἠδίκησεν. ἀλλὰ γὰρ
Σπεύδωμεν ὦνδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι.
Χωρῶμεν. ἅμα τε τῷ λύχνῳ πανταχῇ διασκοπῶμεν. E
Μή που λαθών τις ἡμᾶς ἐμποδὼν κακόν τι δράσῃ.

*CH.* *Procede firmo Comia gressu, quid vsque lentus es?*
*Atqui antè robur crudū erat tibi, velut caninum*
*Lorum: ipse nunc te vicerit Charinades eundo*
*O Strumodore Conthuleu flos iudicum meorum.*
*Euergides hic verò vbi est? vbi & Chades Phluensis?*
*Quod restat ex nobis adest, calente qui iuuenta*
*Byzantij olim contubernales eramus: euge*
*Custodias fraxantibus nobis, silente nocte*
*Dum fœminæ panariæ furamur ambulantes*
*Pilam, & coquentes corchorum per frusta dissecamus.*
*Sed ô viri confestim eamus, namque ius Lacheti*
*Dicetur illi quem ferunt pecuniarum habere*
*Plenum alueum: Curator ergo nos Cleon ad illum*
*Maturè adesse iussit, atque iram trium dierum*
*Acerbam habere, vt illius delicta puniantur.*
*Verùm ô coæui actutùm eamus antequam dies sit.*
*Et vndecunque cum lucerna perspicaciore*
*Cernamus, vt ne quis malum nobis paret latenter.*

Σχόλια. Ὦ Κωμία βραδύνεις.] ἀντὶ τοῦ ἐβράδυνας εἰς τὸ δικαστήριον ἐλθεῖν. οἱ τοῦ χοροῦ δὲ ἀλλήλοις ἐγκελευόμενοι, τὴν πάροδον ποιοῦνται. ὄνομα δὲ γέροντος ὁ Κωμίας. καὶ ἴσως πεποίηται παρὰ τὴν κώμην. κύνειος δὲ, εὔζωνος καὶ ἰσχυρός. Χαρινάδης δὲ ὄνομα γέροντος. Κονθυλεῦ.] Κονθύλη δῆμος Ἀττικῆς τῆς Πτολεμαΐδος φυλῆς, ἢ Πανδιονίδος. F Χάβης.] οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου παρατίθεται τὸ ὄνομα διὰ τοῦ β, Χάβης. τὸ δὲ, Φλυεὺς ἀπὸ δήμου. Πάρεσθ' ὃ δὴ λοιπόν.] ὅ ἐστιν ὑπόλοιπον ἡμῶν ἥκομεν. ἤγουν τὸ λοιπὸν καὶ τὸ λείψανον τοῦ συστήματος ἡμῶν πάρεστι. τοῦτο δὲ ἐπειδὴ ἐν νυκτὶ τὴν πορείαν ἐποιοῦντο. Τῆς ἀρτοπώλιδος.] παρ' ὑπόνοιαν τοῦ τὸ δέον εἰπεῖν, τοὺς πολεμίους ἐχειρωσάμεθα, ἢ λόχον τινὰ ἐποιήσαμεν. Τὸν ὅλμον.] ξυλίνου ὄντος τοῦ ὅλμου. καὶ Ἡσίοδος. ὅλμον μὲν τριπόδην τάμνειν. G ἄλλως. ὅλμον τὸ μαγειρικὸν ἐργαλεῖον καὶ ὁ τρίπους τοῦ Ἀπόλλωνος. καὶ ὁλμειὸς στρογγύλος λίθος εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά.

CHRIST. Χώρει] Hic chorus Senum Stropham facit quæ decem & octo versus Iambicos Tetrametros & Catalecticos continet, & vocatur Melos Choricum Proodicum. Est autem Comias, Comica persona & proprium senis nomen vt & Charinades, deducit Scholiastes ἀπὸ τῆς κώμης, sed possumus etiam ἀπὸ τοῦ κώμου. quasi veternosum innuat. F Ἱμὰς κύνειος] Fortè & robustum lorum vocat caninum, & constat caninas pelles in commendatione antiquitus fuisse, quibus capitis tegimina & περικεφαλαίας faciebant, vnde eas κυνέας dixerunt, proinde vt è felibus vel mustelis Galeas. Κονθυλεῦ] Conthyla populus vel vicus fuit Atticæ ex tribu Pandionide, quam videtur Scholiastes aliter vocare Ptolemaidem, sed hoc nomine non memini vllam tribum dictam. Ὅλμον] Ligneum vas, veluti tripes, vel mortarium, G erat ὅλμος in quod tundebant olera & legumina. Dicitur etiam ὁλμειὸς lapis teres & rotundus, eundem præstans vsum. Hesiodus dixit ὅλμον μὲν τριπόδην τάμνειν.

Σχόλ. Τοῦ κορκόρου.] πρὸς τὸν Λυκόφρονα, κόρκορον λέγοντα ἰχθύδιόν τι. ἡ πάτη δὲ ὥς φησιν Ἐρατοσθένης, ἐστὶ γὰρ